Μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
Δεινότατα. Δι. μή μ' ἔκπληττε, μηδὲ δειμάτου.
Οὐ γάρ μ' ἀποτρέψεις. Ηρα. εἶτα βόρβορον πολύν,
Καὶ σκῶρ ἀείνων. ἐν δὲ τούτῳ κειμένους,
Εἴ που ξένον τις ἠδίκησε πώποτε.
Ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο.
Ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον
Ἐπάταξεν, ἢ 'πίορκον ὤμοσεν,
Ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
Δι. Νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι, κεἰ
Τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
Ηρ. Ἐντεῦθεν αὐλῶν τίς σε περίεισι πνοή.
Ὄψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
Καὶ μυρρινῶνας, καὶ θιάσους εὐδαίμονας
Ἀνδρῶν, γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
Δι. Οὗτοι δὲ δὴ τίνες εἰσίν; Ηρα. οἱ μεμυημένοι.
Ξανθ. Νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγων μυστήρια.
Ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
Ηρακλ. Οἵ σοι φράσουσ' ἁπαξάπανθ', ὧν ἂν δέει.
Οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
Ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσι θύραις.
Καὶ χαῖρε πόλλ' ὦ 'δελφέ. Δι. νὴ Δία καὶ σύ γε
Ὑγίαινε.

A *Sed & posthac videbis angues, & feras*
*Innumeras, atque horrendas.* BA. *noli mihi metum*
*Frustrà iniycere; neque enim me deterrebis hîc.*
HE. *Tum verò cœnum & stercus desuper innatans:*
*In quo iacent scelerati: vt cùm quis hospitem*
*Iniuria affecerit: aut puerum quempiam*
B *Subagitatum pecunia fraudauerit:*
*Aut matrem pulsarit suam: aut colaphum patri*
*Infregerit: aut periurium commiserit:*
*Aut verbulum vnum transcripserit è Morsimo.*
BA. *Et per Deos addere oportebat hoc quoque,*
*Si Pyrrichen quis didicerit Cinesiæ.*
C HE. *Exinde tibiarum te cinget sonus:*
*Lucémque aspicies, vt & hîc, lucidissimam,*
*Et myrteta, & saltationes mulierum,*
*Virorúmque beatorum, plausúsque manuum.*
BA. *At quinam hi sunt homines?* HE. *initiati sacris.*
XA. *Tùm, per Iouem, ego sum asinus portans mysteria:*
*Sed non feram hanc oneris molem diutius.*
D HE. *Illi tibi omnia exponent, quorum indiges.*
*Nam proximè viam, quæ ad Plutonis fores*
*Perducit, isti habitant, & nunc multum vale,*
*Mi frater.* BA. *& tu per Iouem, semper vale.*

Σχόλια. Καὶ σκῶρ ἀείνων.] τινές φασι τὸ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῳ δράματι. ψεῦδος δέ. πολλῷ γὰρ ὕστερον τῶν βατράχων ὁ Ἀτάλαντος Στράττιδος δεδίδακται.

BISETVS. Σκῶρ ἀεὶ νῶν] Σκῶρ ἀποπάτημα, κόπρος. καὶ ἔστιν ἑτερόκλιτον. ἡ γὰρ γενικὴ, σκατός. Σ. [Ἀεὶ νῶν] τουτέστι νάον, εἴτε ῥέον. κατὰ συναίρεσιν νάον, νῶν, ὡς τὸ βοάων, βοῶν.

Σχόλια. Ἢ Μορσίμου.] τραγῳδίας καὶ οὗτος ποιητής. καὶ ψυχρός. ἔστι δὲ Φιλοκλέους υἱός. ἦν δὲ ὀφθαλμῶν ἰατρὸς ἀγαθός. ἦν δὲ καὶ σμικρός. υἱὸν δὲ ἔσχεν Ἀμφιδάμαντα. Τὴν Κινησίου.] Κινησίας διθυραμβοποιός, ὃς ἐποιήσατο Πυρρίχην. ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρήσατο. τινὲς δὲ οὐ γράφουσι τὸ, νὴ τοὺς θεοὺς στίχον. ἀλλ' ἀφαιροῦσι. καὶ οὕτω τὸ ἑξῆς γράφουσιν. ἢ πυρρίχην τις ἔμαθε τὴν Κινησίου. διὸ καὶ Ἀριστοφάνης παρατίθησιν ἀντίσιγμα καὶ τὸ σίγμα. ἄλλως. ὁ Κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ τὸ σῶμα ὀκνηρὸς, καὶ κατεσκελετευτηκώς. δοκεῖ δὲ καὶ κατησχημονηκέναι τοῦ τῆς Ἑκάτης ἀγάλματος. διὸ καὶ ἐν τοῖς ἑξῆς φησιν. ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ἐπᾴδων. ἦν δὲ Θηβαῖος, μελοποιὸς κάκιστος, ὃς ἐν τοῖς χοροῖς ἐχρῆτο πολλῇ κινήσει. Οἱ μεμυημένοι.] λόγος γὰρ ἐκράτει παρ' Ἀθηναίοις ὡς ὁ τὰ μυστήρια διδαχθεὶς, μετὰ τὴν ἐνθένδε τελευτὴν θείας ἠξιοῦτο τιμῆς. διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον. Ὄνος ἄγων μυστήρια.] τοῖς μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα, διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν. ὅθεν ἡ παροιμία διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοιόν τι πάσχων διὰ τὸ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν. Ἀτὰρ οὐ καθέξω.] ἅμα τῷ λόγῳ ῥίπτει τὰ σκεύη, ἵνα ὕστερον φαίνηται γελοιότερος, κελευόμενος ἆραι τὰ σκεύη. λέγει γοῦν, πρὶν καὶ καταθέσθαι εἰπόντος, σὺ δὲ τὰ στρώματα αὖθις λάμβανε.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ τρίτη.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΝΕΚΡΟΣ.

G

## ACTVS I. SCENA III.

BACCHVS, XANTHIAS, MORTVVS.

Σὺ δ'